θλιβέτω ἄνθρωπος τὸν πλησίον καὶ φοβηθήσῃ κύριον τὸν θεόν
σου· ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν. [18]καὶ ποιήσετε πάντα τὰ δικαιώ- 18
ματά μου καὶ πάσας τὰς κρίσεις μου καὶ φυλάξασθε καὶ ποιήσετε
αὐτὰ καὶ κατοικήσετε ἐπὶ τῆς γῆς πεποιθότες· [19]καὶ δώσει ἡ γῆ τὰ 19
ἐκφόρια αὐτῆς, καὶ φάγεσθε εἰς πλησμονὴν καὶ κατοικήσετε πε-
ποιθότες ἐπ᾽ αὐτῆς. [20]ἐὰν δὲ λέγητε Τί φαγόμεθα ἐν τῷ ἔτει τῷ 20
ἑβδόμῳ τούτῳ, ἐὰν μὴ σπείρωμεν μηδὲ συναγάγωμεν τὰ γενήματα
ἡμῶν; [21]καὶ ἀποστελῶ τὴν εὐλογίαν μου ὑμῖν ἐν τῷ ἔτει τῷ ἕκτῳ, 21
καὶ ποιήσει τὰ γενήματα αὐτῆς εἰς τὰ τρία ἔτη. [22]καὶ σπερεῖτε τὸ 22
ἔτος τὸ ὄγδοον καὶ φάγεσθε ἀπὸ τῶν γενημάτων παλαιά· ἕως τοῦ
ἔτους τοῦ ἐνάτου, ἕως ἂν ἔλθῃ τὸ γένημα αὐτῆς, φάγεσθε παλαιὰ
παλαιῶν. [23]καὶ ἡ γῆ οὐ πραθήσεται εἰς βεβαίωσιν, ἐμὴ γάρ ἐστιν 23
ἡ γῆ, διότι προσήλυτοι καὶ πάροικοι ὑμεῖς ἐστε ἐναντίον μου· [24]καὶ 24
κατὰ πᾶσαν γῆν κατασχέσεως ὑμῶν λύτρα δώσετε τῆς γῆς. —
[25]ἐὰν δὲ πένηται ὁ ἀδελφός σου ὁ μετὰ σοῦ καὶ ἀποδῶται ἀπὸ 25
τῆς κατασχέσεως αὐτοῦ καὶ ἔλθῃ ὁ ἀγχιστεύων ἐγγίζων ἔγγιστα
αὐτοῦ, καὶ λυτρώσεται τὴν πρᾶσιν τοῦ ἀδελφοῦ αὐτοῦ. [26]ἐὰν δὲ 26
μὴ ᾖ τινι ὁ ἀγχιστεύων καὶ εὐπορηθῇ τῇ χειρὶ καὶ εὑρεθῇ αὐτῷ
τὸ ἱκανὸν λύτρα αὐτοῦ, [27]καὶ συλλογιεῖται τὰ ἔτη τῆς πράσεως 27
αὐτοῦ καὶ ἀποδώσει ὃ ὑπερέχει τῷ ἀνθρώπῳ, ᾧ ἀπέδοτο ἑαυτὸν
αὐτῷ, καὶ ἀπελεύσεται εἰς τὴν κατάσχεσιν αὐτοῦ. [28]ἐὰν δὲ μὴ εὐ- 28
πορηθῇ ἡ χεὶρ αὐτοῦ τὸ ἱκανὸν ὥστε ἀποδοῦναι αὐτῷ, καὶ ἔσται ἡ
πρᾶσις τῷ κτησαμένῳ αὐτὰ ἕως τοῦ ἕκτου ἔτους τῆς ἀφέσεως· καὶ
ἐξελεύσεται τῇ ἀφέσει, καὶ ἀπελεύσεται εἰς τὴν κατάσχεσιν αὐτοῦ.
[29]Ἐὰν δέ τις ἀποδῶται οἰκίαν οἰκητὴν ἐν πόλει τετειχισμένῃ, 29
καὶ ἔσται ἡ λύτρωσις αὐτῆς, ἕως πληρωθῇ ἐνιαυτὸς ἡμερῶν, ἔσται
ἡ λύτρωσις αὐτῆς. [30]ἐὰν δὲ μὴ λυτρωθῇ, ἕως ἂν πληρωθῇ αὐτῆς 30
ἐνιαυτὸς ὅλος, κυρωθήσεται ἡ οἰκία ἡ οὖσα ἐν πόλει τῇ ἐχούσῃ
τεῖχος βεβαίως τῷ κτησαμένῳ αὐτὴν εἰς τὰς γενεὰς αὐτοῦ καὶ οὐκ
ἐξελεύσεται ἐν τῇ ἀφέσει. [31]αἱ δὲ οἰκίαι αἱ ἐν ἐπαύλεσιν, αἷς οὐκ 31
ἔστιν ἐν αὐταῖς τεῖχος κύκλῳ, πρὸς τὸν ἀγρὸν τῆς γῆς λογισθή-
τωσαν· λυτρωταὶ διὰ παντὸς ἔσονται καὶ ἐν τῇ ἀφέσει ἐξελεύσον-
ται. [32]καὶ αἱ πόλεις τῶν Λευιτῶν οἰκίαι τῶν πόλεων αὐτῶν κατα- 32
σχέσεως λυτρωταὶ διὰ παντὸς ἔσονται τοῖς Λευίταις· [33]καὶ ὃς ἂν 33
λυτρωσάμενος παρὰ τῶν Λευιτῶν, καὶ ἐξελεύσεται ἡ διάπρασις
αὐτῶν οἰκιῶν πόλεως κατασχέσεως αὐτῶν ἐν τῇ ἀφέσει, ὅτι οἰκίαι

17 θλιψετω A† || 18 ποιησετε 2°] -σατε A | αυτας A | κατοικησητε A | επι της γης > B*A || 20 δε > A† || 21 αποστελλω B || 25 αποδωται M (cf. 29)] -δωσεται BA | εγγιζων εγγιστα αυτου B*A†] ο εγγιζων αυτω $B^c$ || 26 ευπορηθη] ευρεθη A: item B*A† in 28 || 27 ο υπερεχει] οπερ εχει B*A | αυτον εαυτω A || 28 ευπορηθη: cf. 26 | αυτω] -τα B*A† | τη αφεσει] την -σιν A† | κατασχεσιν] καταπαυσιν B*A || 31 αις] αι A† | εν 2° > A | λογισθησονται $B^c$

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/255 UNIVERSITÄT LEIPZIG